Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

2662 e. 37

2662 e. 37

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΒΙΟΣ

## ΕΚ ΤΩΝ ΛΑΕΡΤΙΟΥ

ARISTOTELIS VITA SCRIPTORE LAERTIO
CVM ADNOTATIONE CRITICA ET FRAGMENTIS
ANTIQVAE VERSIONIS LATINAE

BIBLIOTHECA · BODLEIANA

OXONII

MDCCCLXXIX

Arch. Bodl. B. III. 81.

## SIGLA.

A = cod. Arundelianus 531, saec. xv.

B = cod. Neapolitanus 253, saec. xii.

L = cod. Laurentianus 69. 13, saec. xii.

Q = cod. Parisinus 1758, saec. xv.

V = cod. Vaticanus 1302, saec. xiii.

* = littera erasa.

$A^1$ ($B^1$, $L^1$ etc.) = prima manus codicis A (B, L, etc.)

$A^2$ ($B^2$, $L^2$ etc.) = correcta lectio codicis A (B, L etc.): litteras correctori debitas in rasura scribenti aut scripturam priorem reformanti hamulis ( ⌈ ⌋ ) circumclusas exhibemus.

# ΑΡΙΣΤΟΤΕΛΗΣ.

Ἀριστοτέλης Νικομάχου καὶ Φαιστίδος Σταγειρίτης. ὁ δὲ Νικόμαχος 1
ἦν ἀπὸ Νικομάχου τοῦ Μαχάονος τοῦ Ἀσκληπιοῦ, καθά φησιν Ἕρμιππος
ἐν τῷ περὶ Ἀριστοτέλους· καὶ συνεβίω Ἀμύντᾳ τῷ Μακεδόνων βασιλεῖ
ἰατροῦ καὶ φίλου χρείᾳ. οὗτος γνησιώτατος τῶν Πλάτωνος μαθητῶν,
τραυλὸς τὴν φωνήν, ὥς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ περὶ βίων·
ἀλλὰ καὶ ἰσχνοσκελής, φασίν, ἦν καὶ μικρόμματος ἐσθῆτί τ' ἐπισήμῳ
χρώμενος καὶ δακτυλίοις καὶ κουρᾷ. ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ
Ἑρπυλλίδος τῆς παλλακῆς, ὥς φησι Τίμαιος. ἀπέστη δὲ Πλάτωνος ἔτι 2
περιόντος· ὥστε φασὶν ἐκεῖνον εἰπεῖν, "Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε,
καθαπερεὶ τὰ πωλάρια γεννηθέντα τὴν μητέρα." φησὶ δ' Ἕρμιππος ἐν
τοῖς βίοις ὅτι πρεσβεύοντος αὐτοῦ πρὸς Φίλιππον ὑπὲρ Ἀθηναίων
σχολάρχης ἐγένετο τῆς ἐν Ἀκαδημείᾳ σχολῆς Ξενοκράτης· ἐλθόντα δὴ
αὐτὸν καὶ θεασάμενον ὑπ' ἄλλῳ τὴν σχολήν, ἑλέσθαι περίπατον τὸν ἐν
Λυκείῳ, καὶ μέχρι μὲν † ἀλείμματος † ἀνακάμπτοντα τοῖς μαθηταῖς συμ-
φιλοσοφεῖν· ὅθεν περιπατητικὸν προσαγορευθῆναι· οἱ δ', ὅτι ἐκ νόσου
περιπατοῦντι Ἀλεξάνδρῳ συμπαρὼν διελέγετο ἄττα· ἐπειδὴ δὲ πλείους 3
ἐγένοντο ἤδη, καὶ ἐκάθισεν εἰπών·

Αἰσχρὸν σιωπᾶν, Ξενοκράτην δ' ἐᾶν λέγειν·

---

ADNOTATIO CRITICA:—1 ν[ει]κομάχου $B^2$ φεστίδοσ B : ἐφεστιάδοσ L : φαιστιάδος AQV σταγειρείτησ B ν[ει]κόμαχος $B^2$ 2 ν[ει]κομάχου $B^2$ μαχάωνοσ L 3 συνεβίω AV : συνεβίου BLQ 4 χρείαι $B^1$ μαθητῶν] ἀδελφῶν $L^1$ 5 τ[ι]μόθεοσ $B^2$ 6 τ' Cobet. : τε codd. 7 καὶ κουρᾷ del. $B^2$ καὶ υἱὸν] καὶ om. A 8 ἑρπυλλίδοσ B : ἑρπυλίδος ALQV παλλακῆσ BQ : παλακῆς ALV Τίμαιος C. Mueller FHG I p. 211 : Τιμόθεος codd. 9 περιιόντος QV ἀπελάκτησε B 10 πολάρια B δ' AQV : δὲ B : δὲ καὶ L 12 ἀκαδημίαι B : ἀκαδημία vel ἀκαδημίᾳ vulg. δὴ] δὲ V 13 ἄλλο L 14 λυκίω B μὲν om. Q ἀνακάπτοντα $B^1$ συνφιλοσοφεῖν B 15 οἱ δ'] οἶδ' $V^1Q$ 16 συνπαρὼν B : συμπεριπατῶν Casaubonus ἄττα BQ 17 ἐγένοντο $Q^1V$ : ἐγίνοντο $ABLQ^2$ ἐκάθησεν B 18 Ξενοκράτην Cobet. : ξενοκράτη codd. δὲ L.

καὶ πρὸς θέσιν συνεγύμναζε τοὺς μαθητάς, ἅμα καὶ ῥητορικῶς ἐπασκῶν. ἔπειτα μέντοι ἀπῆρε πρὸς Ἑρμίαν τὸν εὐνοῦχον, Ἀταρνέως ὄντα τύραννον· ὃν οἱ μὲν φασι παιδικὰ γενέσθαι αὐτοῦ, οἱ δὲ καὶ κηδεῦσαι αὐτῷ δόντα τὴν θυγατέρα, ἢ ἀδελφιδῆν, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν τε καὶ συγγραφέων· ὃς καὶ δοῦλον Εὐβούλου φησὶ γενέσθαι τὸν Ἑρμίαν, γένει Βιθυνὸν ὄντα καὶ τὸν δεσπότην ἀνελόντα. Ἀρίστιππος δ' ἐν τῷ πρώτῳ περὶ παλαιᾶς τρυφῆς φησιν ἐρασθῆναι τὸν Ἀριστοτέλην παλλακίδος τοῦ Ἑρμίου· τοῦ δὲ συγχωρήσαντος ἔγημέ 4
τ' αὐτὴν καὶ ἔθυεν ὑπερχαίρων τῷ γυναίῳ, ὡς Ἀθηναῖοι τῇ Ἐλευσινίᾳ Δήμητρι· τῷ τε Ἑρμίᾳ παιᾶνα ἔγραψεν, ὃς ἔνδον γέγραπται. ἐντεῦθέν τε γενέσθαι ἐν Μακεδονίᾳ παρὰ Φιλίππῳ καὶ λαβεῖν μαθητὴν παρ' αὐτοῦ τὸν υἱὸν Ἀλέξανδρον, καὶ αἰτῆσαι ἀναστῆσαι αὐτοῦ τὴν πατρίδα κατασκαφεῖσαν ὑπὸ Φιλίππου καὶ τυχεῖν· οἷς καὶ νόμους θεῖναι. ἀλλὰ καὶ ἐν τῇ σχολῇ νομοθετεῖν μιμούμενον Ξενοκράτην, ὥστε κατὰ δέκα ἡμέρας ἄρχοντα ποιεῖν. ἐπειδὴ δ' ἐδόκει ἐπιεικῶς αὐτῷ συγγεγενῆσθαι Ἀλεξάνδρῳ, ἀπῆρεν εἰς Ἀθήνας, συστήσας αὐτῷ τὸν συγγενῆ Καλλισθένην τὸν Ὀλύνθιον· ὃν καὶ 5
παρρησιαστικώτερον λαλοῦντα τῷ βασιλεῖ καὶ μὴ πειθόμενον αὐτῷ φασιν ἐπιπλήξαντα εἰπεῖν·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις.

καὶ δὴ καὶ ἐγένετο. δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς ἐν σιδηρᾷ περιήγετο γαλεάγρᾳ, φθειριῶν καὶ ἀκόμιστος· καὶ τέλος λέοντι παραβληθείς, οὕτω κατέστρεψεν. ὁ δ' οὖν Ἀριστοτέλης ἐλθὼν εἰς τὰς Ἀθήνας καὶ τρία πρὸς τοῖς δέκα τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτὸν τοῦ ἱεροφάντου δίκην ἀσεβείας γραψαμένου, ἢ Δημοφίλου, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, ἐπειδήπερ τὸν ὕμνον ἐποίησεν εἰς τὸν προειρημένον Ἑρμίαν, ἀλλὰ καὶ ἐπίγραμμα ἐπὶ τοῦ ἐν Δελφοῖς ἀνδριάντος τοιοῦτον· 6

---

1 ἅμα om. L  2 ἑρμίαν BV : ἑρμείαν ALQ  4 ἀδελφιδῆν Q$^{1}$ : ἀδελφιδὴν ABQ$^{2}$V : ἀδελφήδὴν L  6 ἑρμίαν B$^{1}$ : ἑρμείαν vulg.  βυθινὸν B (V$^{1}$?) : β[ι]θ[υ]νὸν L$^{2}$  7 δὲ BL  τῶι L  πρώτῳ om. L  8 ἀριστοτέλη B (L compend.)  παλλακίδοσ BQ : παλακίδος ALV  ἑρμίου B : ἑρμείου vulg. 9 τ' Cobet. : τε codd.  ἐλευσινία L : ἐλευσινείαι B$^{1}$ : ἐλευσινείᾳ B$^{2}$ : ἐλευσινῖδι Q : ἐλευσινίδι AV  10 ἑρμία B$^{1}$ : ἑρμείᾳ vulg.  13 θῆναι B  15 δ' Cobet. : δὲ codd.  16 καλλισθένην LQ : καλλισθένη ABV  17 πυθόμενον Q φασιν] φασὶ δὲ L  19 τέκος om. V  ἔσσαιε BV : ἔσαιε L : ἔσσαιαι A 20 καὶ δὴ καὶ] καὶ δὴ V  συ[μ]μετεσχηκέναι B$^{2}$  21 γαλαιάγρα BQ 23 γ̄ πρὸς τοῖσ ῑ L  25 φαβορεῖνοσ B  ἐν παντοδαπῇ ἱστορίᾳ om. L$^{1}$ 26 ἐποίει L  Ἑρμείαν vulg.

Τόνδε ποτ' οὐχ ὁσίως παραβὰς μακάρων θέμιν ἁγνὴν
ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεύς,
οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίου.

ἐνταῦθα δὴ πιὼν ἀκόνιτον ἐτελεύτησεν, ὥς φησιν Εὔμηλος ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν, βιοὺς ἔτη ἑβδομήκοντα. ὁ δ' αὐτός φησιν αὐτὸν καὶ Πλάτωνι τριακοντούτην συστῆναι, διαπίπτων· βεβίωκε γὰρ τρία μὲν πρὸς τοῖς ἑξήκοντα, Πλάτωνι δὲ ἑπτακαιδεκέτης συνέστη. ὁ δὲ ὕμνος ἔχει τοῦτον τὸν τρόπον·

Ἀρετά, πολύμοχθε γένει βροτείῳ, 7
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
τοῖον ἐπὶ φρένα βάλλεις
κάρτος ἀθάνατον χρυσοῦ τε κρεῖσσον
καὶ γονέων μαλακαυγήτοιό θ' ὕπνου.
σεῦ δ' ἕνεχ' οὐκ Διὸς Ἡρακλέης Λήδας τε κοῦροι
πόλλ' ἀνέτλασαν ἔργοις
σὰν ἀγορεύοντες δύναμιν.
σοῖς δὲ πόθοις Ἀχιλεὺς
Αἴας τ' Ἀΐδαο δόμους ἦλθον·
σᾶς δ' ἕνεκεν φιλίου μορφᾶς καὶ Ἀταρνέος ἔντροφος ἀελίου χήρωσεν αὐγάς. 8

---

1 θέμην L ἀγνὴν B 2 ἔκτεινε B$^1$LQ 4 δολί[ου] A$^2$ 5 δὲ V ἀκόνειτον B : ἀκόν[ι]τον L$^2$V$^2$ εὔμολος Laurentianus 69. 35 πέμπτῃ] ε̄ L 6 ἑβδομήκοντα] ο̄ L 7 γὰρ τρία μὲν] μὲν γ̄ L τοῖς om. V ἑξήκοντα] ξ L 8 ἑπτακαιδεκέτης QV : ἑπτὰ καὶ δεκ^α^έτησ B : ἑπτακαὶ δεκάτη L : ἑπτακαιδεκαέτης A συνέστην Q 9 seqq. v. Bergkii Lyr. Graec. p 664 ed. tert. βροτοῖο L 10 βίω LV : βιω B : βίῳ AQ 11 σᾶς AL$^2$QV : σασ BL$^1$ περὶ BL$^1$ μορφᾶς AQV : μορφὰσ L : μορφα (finis versus) ασ B 12 ζηλωτὸς codd. omnes 14 τοιοῦτον L 15 κάρτος scripsi : καρπὸν εἰς codd. : καρπόν τ' edd. (ex Athenaeo) θάνατον V κρεῖσσον ALQV : κρεῖσσων B : κρείσσω edd. 16 μαλακαυγήτοιό θ' Huebner (ex Athenaeo) : μάλα καυγητοι[ο]θ' B$^2$ : μάλα κ' αὐγὴ τοιοῦθ' L : μαλακαυγῆ τοῖο θ' AQV : μαλακαυγητοῖο θ' Froben. ὕπνουσ B 17 σεῦ δ' ἕνεχ' οὐκ Brunckius : οὐδεν ἐκ' εκ B : σοῦ δ' ἐν ἐκ ἐκ L$^1$ : σοῦ δ' ἕνεκ' ἐκ AL$^2$V : σοῦ δ' ἕνεκα Q κ[οῦ]ροι L$^2$ 19 σὰν ἀγορεύοντες Sylburg. : σὰν ἀγρεύοντες edd. (ex Athenaeo) : ἀναγορεύοντες codd. 20 δὲ Buhlius (ex Athenaeo) : τε codd. Ἀχιλεὺς Bergkius : Ἀχιλλεὺς vulg. 21 θ' ἀΐδαο B (nescio an ex em.) : τ' ἀ[ΐ]δαο L$^2$ 22 φιλίου ALQ : φιλίουσ B :

τοιγὰρ ἀοίδιμος ἔργοις, ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες, Διὸς ξενίου σέβας αὔξουσαι φιλίας τε γέρας
βεβαίου.

ἔστι δ' οὖν καὶ εἰς τοῦτον ἡμῶν οὕτως ἔχον·

Εὐρυμέδων ποτ' ἔμελλεν Ἀριστοτέλην ἀσεβείας
γράψεσθαι Δηοῦς μύστιδος ὢν πρόπολος,
ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε· τοῦτ' ἀκονιτὶ
ἦν ἄρα νικῆσαι συκοφάσεις ἀδίκους.

τοῦτον πρῶτον Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ λόγον δικανικὸν ὑπὲρ 9
ἑαυτοῦ συγγράψαι φησὶν ἐπ' αὐτῇ ταύτῃ τῇ δίκῃ καὶ λέγειν ὡς Ἀθήνησιν

Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ.

φησὶ δ' Ἀπολλόδωρος ἐν χρονικοῖς γεννηθῆναι μὲν αὐτὸν τῷ πρώτῳ ἔτει
τῆς ἐνάτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, παραβαλεῖν δὲ Πλάτωνι καὶ
διατρῖψαι παρ' αὐτῷ εἴκοσιν ἔτη, ἑπτακαιδεκέτην συστάντα· καὶ εἴς τε
Μυτιλήνην ἐλθεῖν ἐπ' ἄρχοντος Εὐβούλου τῷ τετάρτῳ ἔτει τῆς ὀγδόης
καὶ ἑκατοστῆς Ὀλυμπιάδος· Πλάτωνος δὲ τελευτήσαντος τῷ πρώτῳ ἔτει
ἐπὶ Θεοφίλου, πρὸς Ἑρμίαν ἀπᾶραι καὶ μεῖναι ἔτη τρία· ἐπὶ Πυθοδότου 10
δ' ἐλθεῖν πρὸς Φίλιππον τῷ δευτέρῳ ἔτει τῆς ἐνάτης καὶ ἑκατοστῆς
Ὀλυμπιάδος, Ἀλεξάνδρου πεντεκαίδεκα ἔτη ἤδη γεγονότος· εἰς δ' Ἀθήνας

---

φιλία V μορφὰσ L καὶ add. Buhlius (ex Athenaeo) ἀταρνέοσ BLQ : ἀταρνέως AV ἔντροφοσ BL : ἔντροφον AQV χήρωσεν αὐγὰσ B[2]L : χηρωσ ἐναυγὰσ B[1] : χήρωσεν αὐγᾶς AQV 1 τοιγὰρ B : τὸ γὰρ L[1] : ποῖ γὰρ AL[2]QV ἀθάνατον Buhlius (ex Athenaeo) : ἀθάνατοι codd. μουσαι B 2 μναμοσύνης θύγατερ Q ἄρξουσαι L[1] 4 δ' οὖν] δὲ V 5 ποτ' ἔμελλεν BQ : ποτὲ μέλλεν ALV 6 γράψεσθαι AV : γράψασθαι BLQ 7 ἀκόν[ει]τον B[2] ἀκονειτεῖ B : ἀκονητὶ L 8 συκοφάντασ L : συκοφάνσεισ V 9 φαβορεῖνοσ B λόγον om. L[1] 10 αὐτοῦ B συγγράψαι φησὶν] ita L : φησὶ post λόγον AV : om. BQ ὡς om. V 11 ὄχνη ἐπ' ὄχνη L σύκῳ] νίκη BQ 12 δὲ L αὐτὸν BLQ : om. AV τῷ πρώτῳ] ἐν τῶ ᾱ L 13 ἐνάτης AQ : ἐννάτησ B : ἐννάτησ V : θ L ἐνενηκοστῆσ L : ἐνενηκοστῆσ B : ἐννενηκοστῆς AQV παρα[β]αλεῖν L[2] 14 αὐτῷ Scaliger : αὐτὸν codd. εἴκοσι B : κ̄ L 14–17 conf. H. Diels Mus. Rhen. n. s. 31 p. 43 ἑπτὰ καὶ δεκ^α^ετῆ B (accent. super η add. m. 2) : ἑπτακαιδεκέτη QV : ἑπτακαίδεκα ἐτῶν L : ἑπτακαιδεκάτη A 15 Μυτιλήνην Cobet. : μιτυλήνην codd. ἐπ' Cobet. : ἐπὶ vulg. τετάρτῳ] δ̄ L ὀγδόης] η̄ L 16 post Ὀλυμπιάδος add. Q[1] ἀλεξάνδρου πεντεκαίδεκα ἔτη ἤδη γεγονότος πλάτωνι V πρώτῳ] ᾱ L 17 πρὸσ BL : εἰς AQV ἑρμ[εί]αν B[2] : ἑρμείαν vulg. τρία] γ̄ L πυθοδώτου B : πυθότου LQ 18 δὲ BL πρὸσ BL : εἰς AQV δευτέρῳ] β̄ L ἐνάτης A : ἐνάτησ B : ἐννάτησ V : θ̄ LQ 19 πεντεκαίδεκα ἔτη AQV : πέντε καὶ δεκαετῆ B : ε̄ καὶ ῑ ἐτῶν L ἤδη om. A[1] εἰσ δὲ ἀθήνασ L : εἰς ἀθήνας δ' A : εἰσ δ' ἀθήνασ δ' V.

ἀφικέσθαι τῷ δευτέρῳ ἔτει τῆς ἑνδεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος καὶ
ἐν Λυκείῳ σχολάσαι ἔτη τρία πρὸς τοῖς δέκα, εἶτ᾽ ἀπᾶραι εἰς Χαλκίδα
τῷ τρίτῳ ἔτει τῆς τετάρτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, καὶ
τελευτῆσαι ἐτῶν < ὄντα > τριῶν που καὶ ἑξήκοντα νόσῳ, ὅτε καὶ Δημοσ-
θένην καταστρέψαι ἐν Καλαυρείᾳ, ἐπὶ Φιλοκλέους. λέγεται δὲ διὰ τὴν
Καλλισθένους πρὸς Ἀλέξανδρον σύστασιν προσκροῦσαι τῷ βασιλεῖ·
κἀκεῖνον ἐπὶ τῷ τοῦτον λυπῆσαι Ἀναξιμένην μὲν αὐξῆσαι, πέμψαι δὲ
καὶ Ξενοκράτει δῶρα. ἀπέσκωψε δ᾽ εἰς αὐτὸν [ἐπίγραμμα] καὶ Θεόκριτος 11
ὁ Χῖος, οὑτωσὶ ποιήσας, ὥς φησιν Ἀμβρύων ἐν τῷ περὶ Θεοκρίτου·

Ἑρμίου εὐνούχου ἠδ᾽ Εὐβούλου ἅμα δούλου
σῆμα κενὸν κενόφρων τεῦξεν Ἀριστοτέλης.

ἀλλὰ καὶ Τίμων αὐτοῦ καθήψατο εἰπών·

Οὐδ᾽ ἄρ᾽ Ἀριστοτέλους εἰκαιοσύνης ἀλεγεινῆς.

καὶ οὗτος μὲν ὁ βίος τοῦ φιλοσόφου. ἡμεῖς δὲ καὶ διαθήκαις αὐτοῦ
περιετύχομεν, οὕτω πως ἐχούσαις· "Ἔσται μὲν εὖ· ἐὰν δέ τι συμβαίνῃ,
τάδε διέθετο Ἀριστοτέλης· ἐπίτροπον μὲν εἶναι πάντων καὶ διὰ παντὸς
Ἀντίπατρον· ἕως δ᾽ ἂν Νικάνωρ καταλάβῃ, ἐπιμελεῖσθαι Ἀριστομένην, 12
Τίμαρχον, Ἵππαρχον, Διοτέλην, Θεόφραστον, ἐὰν βούληται καὶ ἐνδέχηται
αὐτῷ, τῶν τε παιδίων καὶ Ἑρπυλλίδος καὶ τῶν καταλελειμμένων. καὶ ὅταν
ὥρα ᾖ τῇ παιδί, ἐκδίδοσθαι αὐτὴν Νικάνορι· ἐὰν δὲ τῇ παιδὶ συμβῇ τι—
ὃ μὴ γένοιτο οὐδὲ ἔσται—πρὸ τοῦ γήμασθαι ἢ ἐπειδὰν γήμηται, μήπω
παιδίων ὄντων, Νικάνωρ κύριος ἔστω καὶ περὶ τοῦ παιδίου καὶ περὶ τῶν

---

1 ἀφίκεσθαι B δευτέρῳ] β̄ L ἑνδεκάτης] ιᾱ L 2 λυκίω B γ̄ πρὸσ τοῖσ ῑ L εἶτ᾽ Cobet. : εἶτα codd. 3 τρίτῳ] γ̄ L τετάρτης καὶ] δ̄ης καὶ Q : om. L δεκάτης] ῑ L ἑκατοστῆς] ρ̄ L 4 ὄντα addidi τριῶν] γ̄ L δημοσθένη B 5 καλαυρία BL : καλαβρία AV : καλαβρείᾳ Q φιλοκλεοῦσ L$^{1}$ 6 προσ⌈κροῦσαι⌋ L$^{2}$ (in fine versus) 6–7 τῶ βασιλεῖ—Ἀναξιμένην μὲν add. L$^{2}$ in marg. 7 [τοῦ]τον V$^{2}$ ἀναξιμένην L$^{2}$ : ἀναξιμένη ABQ : ἀναυξημένη V 8 ξενοκράτη B ἐπίγρα⌈μμα⌋ L$^{2}$ : uncinis inclusi 9 χίοσ B$^{1}$ οὕτωσ ει B$^{1}$ : οὑτωσεὶ B$^{2}$ 10 ἑρμίου B : ἑρμείου ALQV ἦ δ᾽ B : ἠδ᾽ V 11 post Ἀριστοτέλης addunt editores ex Plutarcho et Eusebio :—ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν | ἀντ᾽ Ἀκαδημείας Βορβόρου ἐν προχοαῖς. 12 τ[ί]μων B$^{2}$ αὐτῶ V 13 ἀριστοτέλησ V$^{1}$ (L compend.) εἰκαινσύναισ V ἀλεγεινῆς ALQ : [ἀ]λέγειν ἦσ B$^{2}$ : ἀλλογενῆσ V 15 περιετύχομεν BL : ἐνετύχομεν AQV 16 διετίθετο L 17 νεικάνωρ B ἀριστομένην L : ἀριστομένη ABQV 18 Διοτέλην Cobet. : διοτελῆ BL : διοτέλη AQV 19 παίδων L ἑρπυλαίδοσ BL : ἑρπυλίδος AQV καταλελιμμένων B 20 ἦ V ἐκδίδωσθαι L : ἐκδόσθαι ABQV αὐτῆ V νικάνωρι BL 22 νεικάνωρ B.

ἄλλων διοικεῖν ἀξίως καὶ αὑτοῦ καὶ ἡμῶν. ἐπιμελείσθω δὲ Νικάνωρ καὶ
τῆς παιδὸς καὶ τοῦ παιδὸς Νικομάχου, ὅπως ἂν ἀξιοῖ τὰ περὶ αὐτῶν, ὡς
καὶ πατὴρ ὢν καὶ ἀδελφός. ἐὰν δέ τι πρότερον συμβῇ Νικάνορι—ὃ μὴ
γένοιτο—ἢ πρὸ τοῦ λαβεῖν τὴν παῖδα ἢ ἐπειδὰν λάβῃ, μήπω παιδίων
ὄντων, ἐὰν μέν τι ἐκεῖνος τάξῃ, ταῦτα κύρια ἔστω· ἐὰν δὲ βούληται 13
Θεόφραστος εἶναι μετὰ τῆς παιδός, καθάπερ πρὸς Νικάνορα· εἰ δὲ μή,
τοὺς ἐπιτρόπους βουλευομένους μετ' Ἀντιπάτρου καὶ περὶ τῆς παιδὸς καὶ
περὶ τοῦ παιδίου διοικεῖν ὅπως ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι. ἐπιμελεῖσθαι
δὲ τοὺς ἐπιτρόπους καὶ Νικάνορα μνησθέντας ἐμοῦ καὶ Ἑρπυλλίδος, ὅτι
σπουδαία περὶ ἐμὲ ἐγένετο, τῶν τε ἄλλων καὶ ἐὰν βούληται ἄνδρα λαμ-
βάνειν, ὅπως μὴ ἀναξίῳ ἡμῶν δοθῇ. δοῦναι δ' αὐτῇ πρὸς τοῖς πρότερον
δεδομένοις καὶ ἀργυρίου τάλαντον ἐκ τῶν καταλελειμμένων καὶ θεραπαίνας
τρεῖς, <ἃς> ἂν βούληται, καὶ τὴν παιδίσκην ἣν ἔχει καὶ παῖδα τὸν Πυρ-
ραῖον· καὶ ἐὰν μὲν ἐν Χαλκίδι βούληται οἰκεῖν, τὸν ξενῶνα τὸν πρὸς τῷ 14
κήπῳ· ἐὰν δὲ ἐν Σταγείροις, τὴν πατρῴαν οἰκίαν. ὁποτέραν δ' ἂν τούτων
βούληται, κατασκευάσαι τοὺς ἐπιτρόπους σκεύεσιν οἷς ἂν δοκῇ κἀκείνοις
καλῶς ἔχειν καὶ Ἑρπυλλίδι ἱκανῶς. ἐπιμελείσθω δὲ Νικάνωρ καὶ Μύρμηκος
τοῦ παιδίου, ὅπως ἂν ἀξίως ἡμῶν τοῖς ἰδίοις ἐπικομισθῇ σὺν τοῖς ὑπάρ-
χουσιν ἃ εἰλήφαμεν αὐτοῦ. εἶναι δὲ καὶ Ἀμβρακίδα ἐλευθέραν καὶ δοῦναι
αὐτῇ . . . . . ὅταν ἡ παῖς ἐκδοθῇ, πεντακοσίας δραχμὰς καὶ τὴν
παιδίσκην ἣν ἔχει. δοῦναι δὲ καὶ Θαλῇ πρὸς τῇ παιδίσκῃ ἣν ἔχει,
τῇ ὠνηθείσῃ, χιλίας δραχμὰς καὶ παιδίσκην· καὶ Σίμωνι, χωρὶς τοῦ 15

---

1 διηκεῖν V  αὑτοῦ Huebner : αὐτοῦ codd.  ν[ει]κάνωρ B$^{2}$  2 ν[ει]κομάχου B$^{2}$  ἄξιοι B  3 ὢν B$^{1}$  συμβῇ Cobet. : συμβαίη L : συμβαίνη AQ : συμβαίνι V  ν[ει]κάνωρι B$^{2}$  4 μήπω] μηκέτι V  5 τι AQ : τοι BLV  τάξοι L  6 θεόφραστον V  πρὸς om. L  νεικάνορα B$^{2}$  7 βουλευομένους BQV : βουλομένους AL  μετ' Cobet. : μετὰ codd.  8 παιδίου LB : παιδὸς AQV  δοκεῖ LV  [ἄρ]ιστα B$^{2}$  9 νεικάνορα B  ἑρπυλλίδοσ B : ἑρπυλαίδοσ L : ἑρπυλίδος AQV  10 ἐμὲ] ἐμοῦ L  11 ἀναξίῳ Cobet. : ἀναξίωσ BL : ἀνάξιος AQV  δὲ L  12 δεομένοισ V  καταλελιμμένων B : καταλελειμένων L$^{1}$  θεραπένασ V  13 ἃς ἂν scripsi : ἂν BL : ἐὰν AQV  14 ἐν om. L$^{1}$  χαλκίδη V  ξενόνα V  15 οἰκίαν (εῖν supra scr.) (εῖν del. corrector alter) L  ἂν V  15–16 βούληται τούτων L  δοκεῖ V  17 ἑρπυλιίδι L$^{1}$ : ἑρπυλίδι ABL$^{2}$QV  ἐπιμε[λή]σθω B$^{2}$  18 ἂν om. BL$^{1}$ (post ἀξίως add. L$^{2}$)  ἐπικομισθῇ V : ἐπικοσμιθῇ B : ἐπικοσμηθῇ ALQ  19 ἀειλήφαμεν B$^{1}$  ἀμβρακίδα AQV (L$^{2}$ in mg.) : ἀμβρακάδα B : ἀμειρακίδα L  20 lacunam indicavi : conf. testamentum ap. M. Steinschneider de Alpharabio p. 201  τὴν om. L$^{1}$  21 δὲ om. AV  θάλη B  22 ὠνηθήση V$^{1}$  σίμω BLV : σιμῶ Q : σίμων A : σίμωνι Froben. Cobet.

πρότερον ἀργυρίου αὐτῷ <δοθέντος> εἰς παῖδ' ἄλλον, ἢ παῖδα πρίασθαι
ἢ ἀργύριον ἐπιδοῦναι. Τύχωνα δ' ἐλεύθερον εἶναι, ὅταν ἡ παῖς ἐκδοθῇ, καὶ
Φίλωνα καὶ Ὀλύμπιον καὶ τὸ παιδίον αὐτοῦ. μὴ πωλεῖν δὲ τῶν παίδων
μηδένα τῶν ἐμὲ θεραπευόντων, ἀλλὰ χρῆσθαι αὐτοῖς· ὅταν δ' ἐν ἡλικίᾳ
γένωνται, ἐλευθέρους ἀφεῖναι κατ' ἀξίαν. ἐπιμελεῖσθαι δὲ καὶ τῶν ἐκδεδο-
μένων εἰκόνων παρὰ Γρυλίωνα, ὅπως ἐπιτελεσθεῖσαι ἀνατεθῶσιν, ἥ τε
Νικάνορος καὶ ἡ Προξένου, ἣν διενοούμην ἐκδοῦναι, καὶ ἡ τῆς μητρὸς τῆς
Νικάνορος· καὶ τὴν Ἀριμνήστου τὴν πεποιημένην ἀναθεῖναι, ὅπως μνημεῖον
αὐτοῦ ᾖ, ἐπειδὴ ἄπαις ἐτελεύτησε· καὶ <τὴν> τῆς μητρὸς τῆς ἡμετέρας 16
τῇ Δήμητρι ἀναθεῖναι εἰς Νεμέαν ἢ ὅπου ἂν δοκῇ. ὅπου δ' ἂν ποιῶνται
τὴν ταφήν, ἐνταῦθα καὶ τὰ Πυθιάδος ὀστᾶ ἀνελόντας θεῖναι, ὥσπερ αὐτὴ
προσέταξεν. ἀναθεῖναι δὲ καὶ Νικάνορα σωθέντα, ἣν εὐχὴν ὑπὲρ αὐτοῦ
ηὐξάμην, ζῷα λίθινα τετραπήχη Διὶ σωτῆρι καὶ Ἀθηνᾷ σωτείρᾳ ἐν
Σταγείροις." τοῦτον ἴσχουσιν αὐτῷ αἱ διαθῆκαι τὸν τρόπον. λέγεται
δὲ καὶ λοπάδας αὐτοῦ πλείστας εὑρῆσθαι· καὶ Λύκωνα λέγειν ὡς ἐν
πυέλῳ θερμοῦ ἐλαίου λούοιτο καὶ τοὔλαιον διαπωλοῖτο. ἔνιοι δὲ καὶ
ἀσκίον θερμοῦ ἐλαίου ἐπιτιθέναι αὐτὸν τῷ στομάχῳ φασί· καὶ ὁπότε
κοιμῷτο, σφαῖραν χαλκῆν βάλλεσθαι αὐτῷ εἰς τὴν χεῖρα λεκάνης ὑπο-
κειμένης, ἵν' ἐκπεσούσης τῆς σφαίρας εἰς τὴν λεκάνην ὑπὸ τοῦ ψόφου
ἐξέγροιτο. ἀναφέρεται δ' εἰς αὐτὸν καὶ ἀποφθέγματα κάλλιστα ταυτί. 17
ἐρωτηθεὶς τί περιγίνεται κέρδος τοῖς ψευδομένοις, "ὅταν, ἔφη, λέγωσιν
ἀληθῆ, μὴ πιστεύεσθαι." ὀνειδιζόμενός ποτε ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημο-

---

1 δοθέντος supplevit Casaubonus, sed nondum ab omni parte sana est oratio   παῖδ' Cobet. : παῖδα codd.   2 ἐπιδοῦναι L : δοῦναι ABQV   τύχωνα Froben. Cobet. : τάχωνα codd.   δ' Cobet. : δὲ codd.   3 Ὀλύμπιχον Meinekius   παίδων Sylburgius : παιδίων ABLQV   4 δὲ B   5 ἀφῆναι BL   ἐκδιδομένων L   6 γρυλίωνα L : γρυλλίωνα ABQ : γρυλλίωνοσ V   ἥ τε] εἴτε L   7 νεικάνοροσ B : νικάνωροσ L   8 νικάνωροσ L   ἀναθῆναι B   9 ᾖ] η $B^1$   τὴν add. Casaubonus   10 τῇ Δήμητρι Casaubonus : τὴν δὴ μητέρα B : τὴν δημητέρα $L^1$V : τὴν δημήτερα A$L^2$Q : τὴν δήμητρα Laurentianus 69. 28   ἀναθῆναι BL   νέμεαν AQV   ἢ] καὶ V   ὅπ[ου] $V^2$   δοκ[ῇ] $V^2$   ποιῶντε $B^1$   11 ὀστὰ L   ἀνελόντας θεῖναι Froben. : ἀναθεῖναι $L^1$ : ἀνελόντα θῆναι B : ἀνελόντα θεῖναι A$L^2$QV   αὐτῇ $L^1$V   12 ν[ει]κάνορα $B^2$   13 σωτείρα L : σωτειρη $B^1$ : σωτείρη A$B^2Q^2$ : σωτεῖρη $Q^1$ : σωτῆρι V   14 σταγείροισ L : σταγείρη ABQV   αὐτῷ om. V   αἱ om. $L^1$   15 post ἐν add. $L^2$ supra vers. ὑγρῶ   16 καὶ τοὔλαιον διαπωλοῖτο om. $L^1$   17 αὐτῶν $L^1$   18 χαλκὴν B$L^2$   19 ἵνα B   ἐκπεσοῦσαν V   εἰς om. $A^1$   20 δὲ BL   ταυτί] ταυ $B^1$   21 ἐρωτιθεὶσ V   22 ἀληθῆ Cobet. (v. infra p. 20. 3) : ἀλήθειαν codd. ὀν[ει]διζομενοσ $B^2$.

*σύνην ἔδωκεν, "οὐ τὸν τρόπον, εἶπεν, ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα."*
*συνεχὲς εἰώθει λέγειν πρός τε τοὺς φίλους καὶ τοὺς φοιτῶντας αὐτῷ,*
*ἔνθα [ἂν] καὶ ὅπου διατρίβων ἔτυχεν, ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος*
*[ἀέρος] λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων. πολλάκις δὲ*
*καὶ ἀποτεινόμενος τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι πυροὺς καὶ νόμους·*
*ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ μή. τῆς παιδείας ἔφη τὰς μὲν ῥίζας* 18
*εἶναι πικράς, τὸν δὲ καρπὸν γλυκύν. ἐρωτηθεὶς τί γηράσκει ταχύ, "χάρις,"*
*ἔφη. ἐρωτηθεὶς τί ἐστιν ἐλπίς, "ἐγρηγορότος, εἶπεν, ἐνύπνιον." Διογένους*
*ἰσχάδ' αὐτῷ διδόντος νοήσας ὅτι, εἰ μὴ λάβοι, χρείαν εἴη μεμελετηκώς,*
*λαβὼν ἔφη Διογένην μετὰ τῆς χρείας καὶ τὴν ἰσχάδα ἀπολωλεκέναι·*
*πάλιν τε διδόντος λαβὼν καὶ μετεωρίσας ὡς τὰ παιδία εἰπών τε "μέγας*
*Διογένης," ἀπέδωκεν αὐτῷ. τριῶν ἔφη δεῖν παιδείᾳ, φύσεως, μαθήσεως,*
*ἀσκήσεως. ἀκούσας ὑπό τινος λοιδορεῖσθαι, "ἀπόντα με, ἔφη, καὶ μαστι-*
*γούτω." τὸ κάλλος παντὸς ἔλεγεν ἐπιστολίου συστατικώτερον. οἱ δὲ* 19
*οὕτω μὲν Διογένην φασὶν ὁρίσασθαι, αὐτὸν δὲ τοῦτο δῶρον εἰπεῖν*
*εὐμορφίας· Σωκράτην δὲ ὀλιγοχρόνιον τυραννίδα· Πλάτωνα προτέρημα*
*φύσεως· Θεόφραστον σιωπῶσαν ἀπάτην· Θεόκριτον ἐλεφαντίνην ζημίαν·*
*Καρνεάδην ἀδορυφόρητον βασιλείαν. ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαι-*
*δευμένοι τῶν ἀπαιδεύτων, "ὅσῳ, εἶπεν, οἱ ζῶντες τῶν τεθνεώτων." τὴν*
*παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις*
*καταφυγήν. τῶν γονέων τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον*
*γεννησάντων· τοὺς μὲν γὰρ τὸ ζῆν, τοὺς δὲ τὸ καλῶς ζῆν παρασχέσθαι.*
*πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη, "οὐ τοῦτο, ἔφη, δεῖ*
*σκοπεῖν, ἀλλ' ὅστις μεγάλης πατρίδος ἄξιός ἐστιν." ἐρωτηθεὶς τί ἐστι* 20

---

2 *εἰώθη* B  4 *ἀέρος* om. L  *δὲ* (post *πολλάκις*) om. V  5 *ἔφασκεν*] *ἔλεγεν* L  *πυρρουσ* L$^1$  6 *παιδίασ* L  *ἔφη* om. L  7 *τὸν δὲ καρπὸν γλυκύν* BL : *γλυκὺν δὲ τὸν καρπόν* AQ$^2$V : *γλυκεῖς δὲ τοὺς καρπούς* Q$^1$  8 *ἔφη*] *εἶπεν* L  9 *ἰσχάδ' αὐτῷ* (*αὐτῶν* Q) *διδόντος* ABQV : *ἰσχάδα διδόντοσ αὐτῶ* L  *λάβοι* BLQ : *λάβη* AV (in V *η* fort. ex em.)  10 *διογένην* L : *διογένη* ABQV  *ἀπωλωλεκέναι* B  11 *τε* BL : *δὲ* AQV  *μετεωρήσας* AB  *εἰ[πώ]ν* B$^2$  12 *τρειῶν* V  *παιδείαι* B : *παιδία* L  12–13 *ἀσκήσεωσ μαθήσεωσ* V  14 *εὐσταλτικώτερον* L  15 *οὕτω* scripsi : *τοῦτο* codd.  *φασὶ διογένην* L : *διογένη φασὶν* (*φασὶ* B$^1$) ABQV  *τοῦτο* L : om. ABQV : *θεοῦ* Cobet.  16 *εὐμορφίας* codd. : *εὐμορφίαν* M. Casaubonus, Cobet.  *σωκράτην* L : *σωκράτη* ABQ : *σωκράτει* V  18 *τίνι*] *τί* V  *π[ε]παιδευμένοι* B$^2$  19 *τεθνεώτων* BL  *τεθνηκότων* AQV  20 *παιδ[εί]αν* B$^2$  21 *γον[έ]ων* B$^2$  *ἐντιμωτέρουσ* BL  *εἶναι* om. V  *μόνον* BLQ : *μόνων* A$^2$V  22 *τοὺς δὲ τὸ καλῶς ζῆν* om. B$^1$  *παρασχέθη* V  23 *καυχόμενον* BL$^2$  [*εἴ*]*η* V$^2$  *δεῖ* BL : om. AQV  24 *ὅστις*] *εἴ τις* Cobet.  *ἐ[στιν]* (post *ἄξιός*) V$^2$.

φίλος, ἔφη, "μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα." τῶν ἀνθρώπων ἔλεγε
τοὺς μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δ' οὕτως ἀναλίσκειν
ὡς αὐτίκα τεθνηξομένους. πρὸς τὸν πυθόμενον διὰ τί τοῖς καλοῖς πολὺν
χρόνον ὁμιλοῦμεν, "τυφλοῦ, ἔφη, τὸ ἐρώτημα." ἐρωτηθεὶς τί ποτ' αὐτῷ
περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, "τὸ ἀνεπιτάκτως ποιεῖν ἅ τινες διὰ τὸν
ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν." ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ
μαθηταί, ἔφη, "ἐὰν τοὺς προέχοντας διώκοντες τοὺς ὑστεροῦντας μὴ
ἀναμένωσι." πρὸς τὸν εἰπόντα ἀδολέσχην, ἐπειδὴ αὐτοῦ πολλὰ κατήν-
τλησε, "μήτι σου κατεφλυάρησα;" "μὰ Δί', εἶπεν· οὐ γάρ σοι προσεῖχον."
πρὸς τὸν αἰτιασάμενον ὡς εἴη μὴ ἀγαθῷ ἔρανον δεδωκώς—φέρεται γὰρ 21
καὶ οὕτως—"οὐ τῷ ἀνθρώπῳ, φησίν, ἔδωκα, ἀλλὰ τῷ ἀνθρωπίνῳ."
ἐρωτηθεὶς πῶς ἂν τοῖς φίλοις προσφεροίμεθα, ἔφη, "ὡς ἂν εὐξαίμεθα
αὐτοὺς ἡμῖν προσφέρεσθαι." τὴν δικαιοσύνην ἔφη ἀρετὴν ψυχῆς διανεμη-
τικὴν τοῦ κατ' ἀξίαν. κάλλιστον ἐφόδιον τῷ γήρᾳ τὴν παιδείαν ἔλεγε.
φησὶ δὲ Φαβωρῖνος ἐν τῷ δευτέρῳ τῶν ἀπομνημονευμάτων ὡς ἑκάστοτε
λέγοι, "ᾧ φίλοι, οὐδεὶς φίλος." [ἀλλὰ καὶ ἐν τῷ ἑβδόμῳ τῶν Ἠθικῶν
ἐστι.] καὶ ταῦτα μὲν εἰς αὐτὸν ἀναφέρεται. συνέγραψε δὲ πάμπλειστα
βιβλία, ἃ ἀκόλουθον ἡγησάμην ὑπογράψαι διὰ τὴν περὶ πάντας λόγους
τἀνδρὸς ἀρετήν· περὶ δικαιοσύνης α' β' γ' δ'· περὶ ποιητῶν α' β' γ'· περὶ 22
φιλοσοφίας α' β' γ'· πολιτικοῦ α' β'· περὶ ῥητορικῆς ἢ Γρῦλος α'·
Νήρινθος α'· σοφιστὴς α'· Μενέξενος α'· ἐρωτικὸς α'· συμπόσιον α'·
περὶ πλούτου α'· προτρεπτικὸς α'· περὶ ψυχῆς α'· περὶ εὐχῆς α'· περὶ

---

1 φιλόσοφος A$^1$ δύο] ἐν δυσὶ V ἔλεγεν V 2 φιλεῖσθαι L δ' codd. : δὲ vulg. ἀναλείσκειν B 3 αὐτ[ί]κα B$^2$ 4 ποτ' AQV : ποτε B : om. L 5 περιεγένετο L ἐκ τῆς φιλοσοφίας Cobet. διὰ τὸν] διὰ τῶν B$^1$ 6 τὸν νόμον LV 8 ἀναμένωσιν BL ἀδολέσχ[η]ν B$^2$ αὐτοῦ πολλὰ L : πολλὰ αὐτοῦ ABQV κατήντησεν B 9 μὰ δί' Froben. : μὰ δία codd. 10 δεδοκώσ V 11 οὕτως Laurentianus 69. 28 : οὕτω ABLQV φησὶ B$^1$ 12 προσφερόμεθα L ἔφη post προσφέρεσθαι v. 13 L 14 κατ' ἀξίαν] καταξίαν L$^1$Q παιδίαν B$^1$ ἔλεγεν B$^1$ 15 φαβορεῖνοσ B τῷ δευτέρῳ] [β̄] L$^2$ 16 λέγει BQ ᾧ B$^2$ (v. infra p. 21. 7; coniecerat Casaubonus) : ὦ AB$^1$LQV post οὐδεὶς duae litt. eras. L ἀλλὰ καὶ — Ἠθικῶν ἐστι om. Ambrosius τῶν ἠθικῶν τῶ ἑβδόμω L$^1$ : τῶ ἠθικῶ τῶ ἑβδόμω L$^2$ : τῶ ἠθικῶ τῶν ἑβδόμων BVQ : τῶ ἠθικῶν ἑβδόμω A : τῶ ζ̄ τῶν ἠθικῶν Laurentianus 69. 28 17 πάμπλειστα] πολλὰ (post βιβλία) L 18 ἃ ALQV : om. B$^1$ : ἅπερ B$^2$ ὑπογράψαι om. L$^1$ 20 πολιτικοῦ] περὶ πολιτικοῦ L ἢ BL : om. AQV γρύλοσ B : γρῦλλοσ L : γρύλλος vulg. 21 Νήρινθος ᾱ· σοφιστὴς ᾱ om. B$^1$ σοφιστὴς ᾱ om. L$^1$ πλούτου ᾱ ante Μενέξενος add. L ἐρωτικὸς ᾱ bis AV.

εὐγενείας αʹ· περὶ ἡδονῆς αʹ· Ἀλέξανδρος ἢ ὑπὲρ ἀποίκων αʹ· περὶ βασιλείας αʹ· περὶ παιδείας αʹ· περὶ τἀγαθοῦ αʹ βʹ γʹ· τὰ ἐκ τῶν νόμων Πλάτωνος αʹ βʹ γʹ· τὰ ἐκ τῆς πολιτείας αʹ βʹ· οἰκονομικὸς αʹ· περὶ φιλίας αʹ· περὶ τοῦ πάσχειν ἢ πεπονθέναι αʹ· περὶ ἐπιστημῶν αʹ· περὶ ἐριστικῶν αʹ βʹ· λύσεις ἐριστικαὶ δʹ· διαιρέσεις σοφιστικαὶ δʹ· περὶ ἐναντίων αʹ· περὶ εἰδῶν καὶ γενῶν αʹ· περὶ ἰδίων αʹ· ὑπομνήματα ἐπιχειρηματικὰ γʹ· 23 προτάσεις περὶ ἀρετῆς αʹ βʹ· ἐνστάσεις αʹ· περὶ τῶν ποσαχῶς λεγομένων ἢ κατὰ πρόσθεσιν αʹ· περὶ παθῶν ὀργῆς αʹ· ἠθικῶν αʹ βʹ γʹ δʹ εʹ· περὶ στοιχείων αʹ βʹ γʹ· περὶ ἐπιστήμης αʹ· περὶ ἀρχῆς αʹ· διαιρέσεις ιζʹ· διαιρετικὸν αʹ· <περὶ> ἐρωτήσεως καὶ ἀποκρίσεως αʹ βʹ· περὶ κινήσεως αʹ· προτάσεις αʹ· προτάσεις ἐριστικαὶ αʹ· συλλογισμοὶ αʹ· προτέρων ἀναλυτικῶν αʹ βʹ γʹ δʹ εʹ ϛʹ ζʹ ηʹ θʹ· ἀναλυτικῶν ὑστέρων μεγάλων αʹ βʹ· περὶ προβλημάτων αʹ· μεθοδικῶν αʹ βʹ γʹ δʹ εʹ ϛʹ ζʹ ηʹ· περὶ τοῦ βελτίονος αʹ· περὶ τῆς ἰδέας αʹ· ὅροι πρὸ τῶν τοπικῶν αʹ βʹ γʹ δʹ εʹ ϛʹ ζʹ· συλλογισμῶν αʹ βʹ· συλλογιστικὸν καὶ ὅροι αʹ· περὶ τοῦ αἱρετοῦ καὶ τοῦ 24 συμβεβηκότος αʹ· τὰ πρὸ τῶν τόπων αʹ· τοπικῶν πρὸς τοὺς ὅρους αʹ βʹ· πάθη αʹ· διαιρετικὸν αʹ· μαθηματικὸν αʹ· ὁρισμοὶ ιγʹ· ἐπιχειρημάτων αʹ βʹ· περὶ ἡδονῆς αʹ· προτάσεις αʹ· περὶ ἑκουσίου αʹ· περὶ καλοῦ αʹ· θέσεις ἐπιχειρηματικαὶ κεʹ· θέσεις ἐρωτικαὶ δʹ· θέσεις φιλικαὶ βʹ· θέσεις περὶ

---

1 περὶ ἡδονῆσ ἀ (finis versus) λέξανδροσ L legend. ἀποικιῶν 2 τοῦ ἀγαθοῦ V 3 οἰκονομίασ BL (v. infra p. 23. 1) περὶ φιλίασ ᾱ B : περὶ φιλίας ALQV 4 ἐρωτικῶν $L^1$V 5 ἐραστικαὶ V 6 εἰδῶν] ἡδονῶν L ᾱ post γενῶν om. codd. (*unum* Ambrosius) [ἰδίω]ν $B^2$ ἐπιχειρηματικὰ $LB^2$ : ἐπιχειρητικὰ $B^1$QV : ἐπιχειρητικοῦ A 7 πρότασισ $B^1$ ᾱ β̄ ita codd. (*tres* Ambrosii edd. : *duo* cod. Riccard. 143) ἐνστάσεισ BL : ἔνστασις AQV 8 πρόσθεσιν BV : πρόθεσιν ALQ ᾱ β̄ γ̄ δ̄ ε̄ $BL^1$ : ᾱ β̄ γ̄ δ̄ $AL^2$QV 9 περὶ ἐπιστήμησ L : ὑπὲρ ἐπιστήμης ABQV 10 ι̅ζ̅ L : ἑπτακαίδεκα vulg. διαιρετικὸν cum Roseo scripsi : διαιρετικῶν codd. περὶ add. Roseus περὶ κινήσεως ᾱ codd. : περὶ κινήσεως ᾱ β Stephanus 11 πρότασισ ᾱ $B^1$ ἐξοριστικαὶ $L^1$ ᾱ BL (v. infra p. 22. 6) : δ̄ AQV Ambrosius συλλογισμὸς L 13 μεθοδικῶν Roseus : μεθοδικὰ codd. (*de quaestionibus ad disciplinam pertinentibus* Ambrosius qui περὶ προβλημάτων μεθοδικῶν legisse videtur, duobus titulis in unum coniunctis) 14 βελτίωνοσ B πρὸ τῶν Froben. : πρώτων BL : πρῶτον AVQ 15 συλλογιστικὸν BQV : συλλογιστικῶν L : συλλογικὸν A (*syllogisticorum* Ambrosius) 15–16 περὶ τοῦ αἱρ.—τόπων ᾱ om. $L^1$ 15 ἑρετοῦ B 16 πρὸ τῶν] πρώτων $B^1$ τοπικῶν BLVQ : τοπικὸν A πρὸς] πρὸ AV 17 ι̅γ̅ L : τρισκαίδεκα vulg. 18 ἡδονῶν L 19 ἐπιχειρηματικαὶ $B^2$L : ἐπιχειρητικαὶ $AB^1$QV κ̅ε̅ L : πέντε καὶ εἴκοσι vulg. θέσεις ἐρωτικαὶ δ̄ (τέτταρες B) BL : om. AQV βʹ] δύο B.

ψυχῆς α'· πολιτικαὶ β'· πολιτικῆς ἀκροάσεως ὡς ἡ Θεοφράστου α' β' γ' δ'
ε' ϛ' ζ' η'· περὶ δικαίων α' β'· τεχνῶν συναγωγῆς α' β'· τέχνης ῥητορικῆς
α' β'· τέχνη α'· ἄλλης τεχνῶν συναγωγῆς α' β'· μεθοδικὸν α'· τέχνης τῆς
Θεοδέκτου συναγωγὴ α'· πραγματείας τέχνης ποιητικῆς α' β'· ἐνθυμή-
ματα ῥητορικὰ α'· περὶ μεγέθους α'· ἐνθυμημάτων διαιρέσεις α'· περὶ
λέξεως α' β'· περὶ συμβουλίας α'· συναγωγῆς α' β'· περὶ φύσεως α' β' γ'· 25
φυσικὸν α'· περὶ τῆς Ἀρχυτείου φιλοσοφίας α' β' γ'· περὶ τῆς Σπευ-
σίππου καὶ Ξενοκράτους α'· τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων α'·
πρὸς τὰ Μελίσσου α'· πρὸς τὰ Ἀλκμαίωνος α'· πρὸς τοὺς Πυθαγορείους
α'· πρὸς τὰ Γοργίου α'· πρὸς τὰ Ξενοφάνους α'· πρὸς τὰ Ζήνωνος α'·
περὶ τῶν Πυθαγορείων α'· περὶ ζῴων α' β' γ' δ' ε' ϛ' ζ' η' θ'· ἀνα-
